www.tezaurliturgic.ro

# ΑΠΡΙΛΙΟΥ Κ΄
# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΡΙΧΙΝΑ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Χριστῷ ἀκολουθήσας πιστῶς, Θεόδωρε ἀσκήσει σου, εἰς θαλάμους τῆς ἀφράτου χαρμονῆς, κατέπαυσας τῶν πόνων, δεχόμενος τὰ γέρα, καὶ μνημονεύων τῶν ὑμνούντων σε.

Ἀγάπῃ τοῦ Σωτῆρος Χριστοῦ, Θεόδωρε ὡς Ἄγγελος, ἐν τῷ κόσμῳ δι᾽ ἀσκήσεως στεῤῥᾶς, σαφῶς ἐπολιτεύσω· διὸ νῦν συγχορεύεις, Ἀγγέλων δήμοις εὐφραινόμενος.

Δυνάμει τοῦ τιμίου Σταυροῦ, ἐχθρὸν τὸ πολυμήχανον, ἐτροπώσω καὶ ἀνῆλθες εὐκλεῶς, ἀσκήσεως τεθρίππῳ, πρὸς ὕψος βασιλείας, τῶν οὐρανῶν πάτερ Θεόδωρε.

Ἀσκήσεως σοφὲ τὸ τραχύ, ἀνδρείως καθυπέμεινας ἐν τριχίνοις, περιστείλας εὐσεβῶς, ῥάκεσι τὸ σαρκίον· διὸ καὶ ἐνεδύσω, δικαιοσύνης τὴν εὐπρέπειαν.

Δόξα Πατρί. Ἦχος α΄.

Τὸν πανεύφημον ἀσκητήν, καὶ μοναστῶν τὸ ἐγκαλλώπισμα, Θεόδωρον ἐν ὕμνοις τιμήσωμεν, ὅτι τῶν προσκαίρων καταφρονήσας, διὰ Χριστὸν ἐν τῷ κόσμῳ διετέλεσεν, ὡς ἄσαρκος μετὰ σαρκὸς διαιτώμενος, ἐν κακουχίαις καὶ ἄκρᾳ σκληραγωγίᾳ· διὸ τῆς ἀλήκτου ἀναψυχῆς, τῶν τῇδε ἀναλύσας κατηξίωται, καὶ παρέστη τῷ τρισηλίῳ Φωτί, τὸν φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν αἰτούμενος, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἔφεσιν πρὸς Χριστόν, ἀνένδοτον πλουτήσας, Θεόδωρε τρισμάκαρ, ὡς πάροικος καὶ ξένος, ἐν κόσμῳ πεπολίτευσαι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Γνώσεως ὑποδύς, τῆς θείας τῇ νεφέλῃ, ἀσκητικοῖς ἀγῶσι, Θεόδωρε κατεῖδες, τὸ φῶς Θεοῦ τὸ ἄδυτον.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Θείαις τοῦ Ἰησοῦ, σχολάσας ὑποθήκαις, ὁδὸν τὴν τεθλιμμένην, ἐβάδισας ἐν κόσμῳ, περιχαρῶς Θεόδωρε.

Δόξα Πατρί. Τριαδικόν.

Σῶσόν με ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἡ Παναγία, πρεσβείαις Θεοδώρου, τοῦ εὐκλε-

www.tezaurliturgic.ro



οὖς ὁσίου σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Μαριάμ, τὴν νοητὴν γαλήνην, Χριστὸν φρικτῶς τεκοῦσα, πρὸς σωτηρίας ὅρμον, εὐχαῖς σού με κυβέρνησον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὅσιε πάτερ Θεόδωρε, δῶρον Θεοῦ ἐκλεκτόν, σεαυτὸν προσενήνοχας, ἀγρυπνίαν πάννυχον, καὶ ἀγάπην κτησάμενος, μελέτην θείαν ἄκραν ταπείνωσιν, ἐλπίδα πίστιν καὶ καθαρότητα, ἄκραν συμπάθειαν, ἀληθῆ ἐγκράτειαν καὶ προσευχήν, στῦλόν σε δεικνύουσαν, φωτοειδέστατον.

Πάτερ θεόφρον Θεόδωρε, καταστολὴν ἀληθῆ, καὶ σωτήριον ἔνδυμα, εὐσεβεῖ φρονήματι, ἐκζητῶν ἐπενδύσασθαι, τῷ ἐκ τριχίνων ῥακίῳ πάντοτε, σοῦ τὸ σαρκίον σκέπειν οὐκ ἔλιπες, καὶ ἀπεγύμνωσας, τοῦ ἡμᾶς γυμνώσαντος τὰς μηχανάς, σθένει δυναμούμενος, τοῦ Θείου Πνεύματος.

Τῷ σαρκωθέντι Θεῷ ἡμῶν, ἐκ παναμώμου Μητρός, δι' ἡμᾶς τε πτωχεύσαντι, ὡς πτωχὸν τῷ πνεύματι, σεαυτὸν προσενήνοχας, θυσίαν ζῶσαν καὶ ὁλοκάρπωμα, σεπτὸν παμμάκαρ καὶ δῶρον τίμιον· ὅθεν καὶ ἔλαβες, οὐρανῶν ἀπόλαυσιν· πρὸς ὃν ἀεί, πρέσβευε δεόμεθα, τοῦ ἐλεῆσαι ἡμᾶς.

Τὸ δυσμενὲς καὶ ἐπίβουλον, τῆς φθειρομένης σαρκός, ὡς οὐράνιος ἄνθρωπος, ἀσφαλῶς ἐξέκλινας, τὰ τῆς γῆς παρωσάμενος, καὶ ἁμαρτίαν τὴν ψυχολέτειραν, ἀσκητικοῖς σου πόνοις ἐξέφυγες. Ὅθεν κατέπαυσας, θαυμαστὲ Θεόδωρε, ἔνθα Θεοῦ, καταυγάζει πάντοτε, φῶς τὸ ἀνέσπερον.

Τοῦ ἑκουσίως πτωχεύσαντος, διὰ τὴν φύσιν ἡμῶν, τὴν πτωχείαν μιμούμενος, θησαυροὺς ἐσύλησας, ἀσυλήτους τῆς χάριτος, καὶ ταπεινώσει ἐπερειδόμενος, ἀθανασίας εἰς τὰ βασίλεια, πάτερ Θεόδωρε, σεαυτὸν ἀνύψωσας περικλεῶς, ἔνθα νῦν θεούμενος, ἡμῶν μνημόνευε.

Βέλη ἐχθροῦ τοῦ ἀλάστορος, ἀσκητικῷ θυρεῷ, καρτερῶς ἐναπέκρουσας, ἐγκρατείᾳ ἔφοδον, τῶν παθῶν κατετρόπωσας, καὶ τῶν δακρύων καταρδευόμενος, ψυχὴν τοῖς ὄμβροις ἐκαρποφόρησας, πάτερ Θεόδωρε, εὐκαρπίαν κρείττονα τῶν δωρεῶν, τοῦ Θεοῦ ὡς ἔνθεος, αὐτῶν ἐπώνυμος.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Τῷ στερεώματι τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὡς ἑωσφόρον ἀνέσπερον λάμποντα, ἡ χάρις σε τοῦ Παρακλήτου ἀνέδειξε, Θεόδωρε πάτερ ἀοίδιμε· διὸ οἱ εὐσεβεῖς συναθροισθέντες, ἐν τῇ μνήμῃ σου ἑορτάζομεν λέγοντες· Χαίροις ὁ τῷ πόθῳ τοῦ Χριστοῦ, πυρποληθεὶς ἀστέκτως τὴν καρδίαν, καὶ σχέσεις ἡδονῶν παντοδαπῶν, ὡς πλήρης συνέσεως καταλείψας· χαίροις ὁ ἀγρύπνῳ λογισμῷ, παθῶν ἐπαναστάσεις κατακοιμίσας, καὶ ἀπαθείας τὴν φαιδράν, ἡμέραν φθάσας τοῖς ἀγῶσί σου· χαίροις ὁ ἑκατοστεύοντα καρπόν, τῷ γεωργῷ τῶν ψυχῶν προσενεγκών, ἀσκητικῶς γεωργηθείς, ὡς γῆ εὐφορωτάτη. Ἀλλὰ πρέσβευε δεόμεθα Χριστῷ, ὡς παῤῥησίαν πολλὴν πλουτήσας, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 18 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ὁσίου Πατρὸς ἡμῶν Χαρίτωνος.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Δεῦτε δημαγωγηθῶμεν οἱ πιστοί, πρὸς ἑόρτιον σήμερον αἴνεσιν, τοῦ τῶν θεϊκῶν δωρεῶν

www.tezaurliturgic.ro



ἐπωνύμου, Θεοδώρου τοῦ παμμάκαρος· ἐπέφανε γὰρ ἡμῖν, διὰ τῆς ἐτησίου αὐτοῦ μνήμης, ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἡμῶν, σωτηρίας ἀναφθεγγόμενος ῥήματα. Ὅθεν δαυϊτικὴν ἀναλαβόντες ῥῆσιν, αὐτῷ ἐν κατανύξει βοήσωμεν· Μακάριος εἶ Πάτερ παμμακάριστε, καὶ τὸ μνημόσυνόν σου εἰς γενεάν καὶ γενεάν, ὅτι τῇ ὑπέρ φύσιν πολιτείᾳ σου, τῆς αἰωνίου Θεοῦ βασιλείας, τῶν μεγίστων μυστηρίων πεπλήρωσαι, οἷα δὴ φῶς ἐκλάμπων τοῖς πέρασι, τὴν χάριν τῶν μεγίστων θαυμάτων σου, δι᾽ ἧς καταυγάζεις τοὺς μελῳδοῦντας· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός, ὁ θαυμαστὸς ὑπάρχων, ἐν τῷ χορῷ τῶν Ὁσίων σου.

Ἦχος β΄.

Σήμερον ἡ γῆ πανηγυρίζει, ἐπὶ τῇ πανσεβάστῳ σου μνήμῃ, Θεόδωρε θεράπον Χριστοῦ· διὸ καὶ ἡμεῖς συνελθόντες, πνευματικήν σοι χορείαν ἱστῶμεν, καὶ πίστει θερμῇ ἐπαινοῦντές σε, διατόρως κραυγάζομεν· Χαίροις ὁ γνώμῃ ἱλαρωτάτῃ, θεραπεύσας τὸν Θεόν, ὡς παρεπίδημος ἐπὶ γῆς βιοτεύσας, τῇ προσδοκίᾳ τῆς αἰωνίου ζωῆς· χαίροις ὁ ἐν βίῳ σου παντί, τριχίνοις περιστείλας τὸ σῶμα ῥάκεσι, καὶ σεαυτῷ σεπτῶς ἐξυφάνας, τῆς θεώσεως τὸ φωτεινὸν περιβόλαιον· χαίροις ὁ τῆς σαρκὸς τὰ πάθη, ἐγκρατείᾳ συντόνῳ ἀπομειώσας, καὶ χάριν οὐρανόθεν δεξάμενος, τοῦ δραστικῶς ἰατρεύειν νοσήματα. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πολλήν, ὑπὲρ μὴ ἐλλίπῃς πρεσβεύων, τῶν ἀνακειμένων τῇ προστασίᾳ σου.

Ἦχος γ΄.

Ὅσιε πάτερ Θεόδωρε, ὥσπερ παρόδιον σκηνήν, τὴν ἐπὶ γῆς ἀναστροφὴν ἐπιγνούς, τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ κατεφρόνησας· διὸ καὶ ἐκ νεαρᾶς ἡλικίας, ἐπωμάδιον τὸν Σταυρὸν ἀναλαβών, τῷ δι᾽ ἡμᾶς σταυρωθέντι, ἀσκητικῶς κατηκολούθησας· ὅθεν τὴν στενοτάτην καὶ τεθλιμμένην ὁδόν, ἐν τῇ ἐλπίδι τῶν ἐλπιστῶν σοι ἀγαθῶν, ἐν ἄκρᾳ σκληραγωγίᾳ διοδεύσας, πρὸς πλατυσμὸν οὐρανίου λαμπρότητος, χάριτι τοῦ πανοικτίρμονος Θεοῦ, ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει κατήντησας. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πολλήν, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν αἴτησαι.

Ἦχος δ΄.

Ὅσιε πάτερ Θεόδωρε, πλοῦτόν τε δόξαν καὶ γένους περιφάνειαν, τῇ τοῦ Κυρίου ἀγάπῃ καταλιπών, τὸν ζυγὸν τῆς ἀσκήσεως ἀνέλαβες, ἀμέτρῳ σκληραγωγίᾳ ἑαυτὸν ὑποβάλλων, ὡς νεκρὸς φαίνεσθαι τῷ κόσμῳ· τριχίνοις γὰρ ῥάκεσι τὸ σῶμα καλυπτόμενος, κρύει τε καὶ παγετῷ πηγνύμενος, δι᾽ ὅλης ἡμέρας καὶ νυκτός, ἵστασο αἴθριος προσευχόμενος, καὶ τὸν ἐν ἐλέει πλούσιον Θεόν, ἐκ καρδίας δαυϊτικῶς προσδεχόμενος. Ὅθεν τὴν τῶν δαιμόνων ἀπάτην ἀπογυμνώσας, ὡς κατ᾽ αὐτῶν τὴν ἐξουσίαν λαβών, καὶ θαύματα πολλὰ ἀπεργασάμενος, τὸν Δικαίοις πρέποντα ὕπνον κεκοίμησαι· ἐκ δὲ τοῦ τάφου σου μύρον εὐῶδες, θεϊκῇ εὐδοκίᾳ ἀνέβλυσε, τοῖς κομιζομένοις πρὸς σωτηρίαν ἐπιτήδειον. Διὸ εὐφημοῦμέν σε, τὴν μνήμην σου ἐπιτελοῦντες, καὶ αἰτοῦμέν σε προστάτην, ἐν δυσχερέσι περιστάσεσιν.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, τὴν πρὸς Θεὸν ἀγάπην σου καὶ στοργήν, τῶν ἀσωμάτων Ἀγγέλων, αἱ οὐράνιαι τάξεις ἐθαύμασαν· μετὰ σώματος γὰρ γηΐνου, τὴν ζωὴν αὐτῶν ἐμιμήσω, ταῖς πρὸς Θεὸν σχολάζων ἐντεύξεσι, καὶ δι᾽ ἀμέτρου ἐγκρατείας, ὑπὲρ φύσιν ἐπὶ γῆς διαιτώμενος. Ὅθεν ἀγγελικῆς κατηξίωσαι στάσεως, ὁσίως τῶν φθαρτῶν ἀναλύσας, ἀμέσως τῷ Λυτρωτῇ παριστάμενος, καὶ θαύματα τοῖς ἐν τῷ κόσμῳ ἐνεργῶν, τῇ χάριτι τῇ ἀφθόνως δοθείσῃ σοι. Ἀλλ᾽ ἱκέτευε δεόμεθα Χριστόν, ἀξιοθαύμαστε Θεόδωρε, τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ὁ διάπυρος Θεοῦ, ἔρως ἐπυρπόλησε Πάτερ, τὴν δεκτικήν σου ψυχήν, τότε κατεφρόνησας, κόσμου τερπνότητος, καὶ σαυτὸν πάσης σχέσεως, προσκαίρου χωρίσας, δρόμον τῆς ἀσκήσεως, χαίρων διήνυσας. Ὅθεν τὸ πολίτευμα ἔχεις, νῦν ἐν οὐρανοῖς μετ᾽ Ἀγγέλων, ὅσιε Θεόδωρε ἀοίδιμε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος...

Βίου ματαιότητα λιπών, καὶ τῆς ἐγκρατείας καμάτοις, ἀπογυμνώσας σαυτόν, ὤφθης ἱλαρώτατος, εὐχῆς τὸ ἅγιον, ἀλειφόμενος ἔλαιον, τὸ δαί-

www.tezaurliturgic.ro



μοσι πᾶσιν, ὄντως φοβερώτατον, πάτερ Θεόδωρε. Ὅθεν ἀθλητὴς ὡς γενναῖος, τῷ ἀμαραντίνῳ στεφάνῳ, τῆς δικαιοσύνης ἐστεφάνωσαι.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Ἔνδυμα οὐράνιον ζωῆς, ὡς ἀπεκδεχόμενος Πάτερ, τελειοτάτῳ νοΐ, ἔζησας σκεπόμενος, τριχίνοις ῥάκεσι, καὶ τοῦ ψύχους καὶ καύσωνος, τὴν ταλαιπωρίαν, χαίρων καθυπέμεινας, ὥσπερ ἀσώματος. Ὅθεν ἀφθαρσίας θεόθεν, τὴν περιβολὴν ἐνεδύσω, τὴν φωτολαμπῆ μάκαρ Θεόδωρε.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ὅσιε πάτερ Θεόδωρε, οἷάπερ κυβερνήτης σοφός, πηδαλίῳ ἐγκρατείας χρησάμενος, τὴν πολυκύμαντον θάλασσαν αἰσίως, τοῦ παρόντος βίου διέπλευσας, καὶ εἰς λιμένα προσωρμίσθης ἀσφαλῶς, τὸν εὔδιον ζωῆς τῆς ἀμείνονος· ἔνθα τῆς ὑπὲρ νοῦν γαλήνης ἀξιούμενος, καὶ ταῖς αὔραις τῆς χάριτος ῥιπιζόμενος, πρὸς ὅρμον τῶν θαυμάτων σου ὁδήγησον, καὶ ἐκ κινδύνων παντοίων ἐλευθέρωσον, τοὺς ἀφορῶντας πιστῶς τῇ ἀντιλήψει σου

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Οὐρανίων τῷ πόθῳ, πτερωθεὶς τὴν διάνοιαν, πάσης κοσμικῆς συναφείας, ἐχωρίσθης Θεόδωρε, καὶ ῥάκεσι τριχίνοις σεαυτόν, ὡς βύσσῳ περιστείλας νουνεχῶς, ἀφθαρσίας ἐνεδύσω, τὸ ἀγλαόμορφον ἔνδυμα. Δόξα τῷ σὲ καλέσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ δείξαντί σε ἱερόν, σκεῦος τῆς χάριτος.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Δῶρον τίμιον, δι᾽ ἐγκρατείας, ὦ Θεόδωρε, σαυτὸν προσῆξας, φερωνύμως Θεῷ τῷ παντάνακτι· τὰς ἐπὶ γῆς γὰρ μισήσας τερπνότητας, ἀσκητικῶς τὴν ζωήν σου ἐτέλεσας. Ὅθεν πρέσβευε, Χριστῷ ἐκτενῶς δωρήσασθαι, πταισμάτων ἱλασμὸν ἡμῖν καὶ ἔλεος.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Τῶν θείων δωρεῶν, ὡς ἐπώνυμος πάτερ, ἀΰλοις δωρεαῖς, ἐκ πηγῆς σοι προσούσαις, ἀεὶ πλουτοδότιδος, θεομάκαρ Θεόδωρε, καταφαίδρυνον, τοὺς εὐλαβῶς σε ὑμνοῦντας, καὶ γεραίροντας, ἐν ἱεροῖς ἐγκωμίοις, τὴν ἔνδοξον μνήμην σου.

Δόξα Πατρί. Ὅμοιον.

Νεκρώσεως σοφέ, δερματίνους χιτῶνας, ἀπέξεσας τῇ σῇ, ὑπὲρ φύσιν ἀσκήσει· τὸ σῶμα τριχίνοις γάρ, καλυπτόμενος ῥάκεσι, καθυπέμεινας, μεταλλαγὰς τοῦ ἀέρος, ὡς στεῤῥότατος, τῆς ἐγκρατείας ἀδάμας, παμμάκαρ Θεόδωρε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπερτέρα, ἀγκάλαις σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· ὃν δοξάζουσι, τῶν οὐρανῶν αἱ δυνάμεις· ὅθεν πάντες σε, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστοῦ ἐπωμάδιον, φέρων στεῤῥῶς τὸν ζυγόν, τῷ βάρει ἀσάλευτος, τῶν πειρασμῶν τῆς σαρκός, ἐδείχθης Θεόδωρε. Ὅθεν πρὸς ἀπαθείας, τὸ περίβλεπτον ὕψος, κούφως διαπετάσας, τῷ φωτὶ ἐλαμπρύνθης, φαιδρῶς τῷ τρισηλίῳ· διὸ εὐφημοῦμέν σε.

Δόξα Πατρί. Ὅμοιον.

Δακρύων οἱ χείμαῤῥοι, τὴν καθαράν σου ψυχήν, σεπτῶς ἐπικλύσαντες, γῆν καρποφόρον αὐτήν, τῆς πίστεως ἔδειξαν, φέρουσαν ὥσπερ στάχυς, τὰς πολλὰς ἀρετάς σου, χάριν τε τῶν θαυμάτων, ὦ Θεόδωρε πάτερ, δι᾽ ὧν ἐμαρτυρήθης, οὐράνιος ἄνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, ὡς τοῦ ἐλέους πηγή, ἀπόπλυνον δέομαι, τὴν ῥυπωθεῖσαν ψυχήν, ἁγνὴ τοῦ οἰκέτου σου, ἵνα ἐν κατανύξει, καὶ συνέσει καρδίας, Δέσποινα μεγαλύνω, τὴν φρικτήν σου λοχείαν, δι᾽ ἧς τῆς καταδίκης, Ἀδὰμ ἠλευθέρωμαι.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Φερωνύμως ἔμψυχον, δῶρον ἐδόθης, τῷ Θεῷ Θεόδωρε, καὶ προσενήνεξαι αὐτῷ, εὐῶδες ὄντως θυμίαμα, τῇ ἐγκρατείᾳ, ἐμπρέψας ὡς Ἄγγελος.

Δόξα Πατρί. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Θεῷ προσήνεγκας, δῶρον φερώνυμον, σαυτὸν Θεόδωρε, τῇ πολιτείᾳ σου, καὶ παρ᾽ αὐτοῦ ταῖς δωρεαῖς, θαυμάτων ἀντεδοξάσθης. Ὅθεν καὶ ὁ τάφος σου, ῥεῖθρα μύρων ἀνέβλυσε, πάτερ εἰς τεκμήριον, οἵας χάριτος ἔτυχες, ἧς δίδου πλουτοδότως τὰς δόσεις, τοῖς εὐλαβῶς σε εὐφημοῦσι.

Καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, ἁγνὴ Μητρόθεε, νύμφη ἀνύμφευτε, καὶ ἀπειρόγαμε, Μαρία Μῆτερ τῆς ζωῆς, Παρθένε εὐλογημένη, πάσης περιστάσεως, νοσημάτων κινδύνων τε, θλίψεων κακώσεων, πολυτρόπων στενώσεων, καὶ μήνιδος ἐχθροῦ τοῦ δολίου, ῥῦσαι τοὺς πίστει σε τιμῶντας.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε΄ Δεκεμβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὅσιε πάτερ Θεόδωρε, ἔτι ἐν σώματι ὤν, καθάπερ λύχνος ὑπῆρχες, ἄνωθεν ὑπὸ πυρός, τοῦ θεϊκοῦ ἐκκαιόμενος· ὅθεν ἐπὶ λυχνίαν τεθείς, τοῖς πέρασι φαίνεις μυστικῶς, τῆς χάριτος τῷ ἀκτίστῳ φωτί. Διό σε γεραίρομεν, χαρμονικῶς ἐπιτελοῦντες, τὴν πάνσεπτον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ὁσίου. Κανὼν πρῶτος τοῦ Ὁσίου, ἄνευ Ἀκροστιχίδος.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Τὰ ἄνθη, τῶν ἀρετῶν προβάλλεται, ἡ μνήμη σήμερον, τοῦ θεοφόρου πᾶσι τοῖς πιστοῖς, εὐωδίαν ἐκπέμποντα, τὴν μυστικὴν τοῦ Πνεύματος, καὶ τῶν θαυμάτων τὰ παράδοξα.

Ῥομφαίᾳ, τῇ νοητῇ Θεόδωρε, τὰς τῶν παθῶν προσβολάς, σὺ διακόψας ἦρας κατ᾽ αὐτῶν, νικητήρια ὅσιε· ὅθεν θαυμάτων χάρισι, καὶ ἰαμάτων ἐστεφάνωσαι.

Ποθήσας, τὴν τοῦ Κυρίου ὅσιε, πτωχείαν ἅπασαν, τὴν γεηράν καὶ πρόσκαιρον σαφῶς, ἐβδελύξω Θεόδωρε, δόξαν· διὸ καὶ ἔτυχες, δόξης ἀφθάρτου καὶ φαιδρότητος.

Θεοτοκίον.

Ἀσπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι᾽ ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Κανὼν δεύτερος τοῦ Ὁσίου, φέρων Ἀκροστιχίδα τήνδε· «Δῶρο(ν σε θ)εῖον εὐσεβῶς μέλπω μάκαρ. Ὁ Ἰωσήφ». Ποίημα Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.

Δωρεαῖς ἐνθέοις πλουτισθείς, δῶρον ὡς πολύτιμον, τῷ Ποιητῇ σαυτὸν Πάτερ προσήγαγες· διό μου χαρίτωσον, τὴν διάνοιαν εὐφημοῦντός σου σήμερον, μνήμην φωτοφόρον, καὶ τὴν πολιτείαν τὴν ἰσάγγελον.

Ὡς στεφθεὶς ταῖς θείαις καλλοναῖς, ἦρας ἐπὶ ὤμων σου, ἀσκητικῶς τὸν σὸν σταυρὸν Θεόδωρε, καὶ κατηκολούθησας, τὴν ἑκούσιον διὰ σὲ ὑπομείναντι, σταύρωσιν παμμάκαρ, πάθη θανατώσας τὰ τοῦ σώματος.

Ῥωμαλέως Πάτερ τῷ ἐχθρῷ, προσπαρατατττόμενος, καὶ τοῦ Σταυροῦ τῷ ὅπλῳ συμφραττόμενος, τοῦτον ἐταπείνωσας, ταπεινούμενος καὶ σαφῶς ἀνυψούμενος· ὅθεν νικηφόρος, ὤφθης καὶ Ὁσίων ἰσοστάσιος.

Θεοτοκίον.

Οἱ σωθέντες Κόρη διὰ σοῦ, σὲ τὴν παναμώμητον, ἐν γυναιξὶ καὶ τοῦ Χριστοῦ λοχεύτριαν, ὕμνοις μακαρίζομεν, καὶ τὸ Χαῖρέ σοι τοῦ Ἀγγέλου κραυγάζομεν· Χαῖρε ἡ αἰτία, τῆς τῶν προπατόρων ἀναπλάσεως.

www.tezaurliturgic.ro



Κανὼν πρῶτος. Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Τοὺς θῆρας τοὺς τῆς σαρκός, δι᾽ ἐγκρατείας ἐνεργοῦς ἔκτεινας, καὶ τῆς ψυχῆς Ὅσιε, πάσας τὰς δυνάμεις ἐτράνωσας.

Οἱ πόνοι σου ἐν κλαυθμῷ, κατασπειρόμενοι σοφὲ ἔδωκαν, ὄντως καρπὸν εὔσταχυν, τῷ Παμβασιλεῖ προσφερόμενον.

Οὐκ ἔδωκας νυσταγμόν, τοῖς σοῖς βλεφάροις ἀληθῶς Ὅσιε, ἕως Θεοῦ σκήνωμα, μάκαρ σεαυτὸν ἀπετέλεσας.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ Χαῖρε προσάγομεν.

Κανὼν δεύτερος. Ἐξήνθησεν ἡ ἔρημος.

Ἐπτώχευσας μιμούμενος, θεοφόρε Ὅσιε, τὴν δι᾽ ἡμᾶς ἑκούσιον, τοῦ Σωτῆρος ἄκραν ταπείνωσιν, αἰωνίαν πλουτήσας ἀγαλλίασιν.

Ἰσχύϊ δυναμούμενος, τοῦ Σωτῆρος ὥδευσας, εὐσθενεστάτως ἔνδοξε, τὴν τραχεῖαν καὶ στενοτάτην ὁδόν, καὶ πρὸς πλάτος τῆς ἄνω Σιὼν ἔφθασας.

Ὁρᾶται σου ὁ τάφος, εὐῶδες μύρον χάριτι, ἀναπηγάζων ὅσιε, καὶ κηρύττει Θεοῦ γενόμενον, εὐωδίαν σε Πάτερ ἱερώτατε.

Θεοτοκίον.

Νυμφὼν ἀθανασίας, ἡ σὴ κοιλία γέγονε, ἐξ ἧς νυμφίος Κύριος, ἀναλάμψας Παρθένε ἄχραντε, τῶν Ὁσίων τοὺς δήμους ἐπεσπάσατο.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Νηστείαις καὶ δάκρυσι, Πάτερ σχολάσας σοφέ, τὴν σάρκα ἐσταύρωσας, καὶ τῶν παθῶν τὰς ὁρμάς, τελείως ἠφάνισας· χάριν δὲ ἐκομίσω, τοῦ ἰᾶσθαι τὰς νόσους, πίστει τῶν προσιόντων, σοῦ τῇ λάρνακι μάκαρ· διὸ καὶ νῦν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς καθαρὸς τῷ καθαρῷ προσπελάσας, διὰ συντόνου προσευχῆς καὶ ἁγνείας, καθηγιάσθης Πνεύματι Θεόδωρε· ὅθεν σὺν Ἀγγέλοις νῦν, αὐλιζόμενος μέλπεις, ὕμνον τὸν τρισάγιον, τῷ τῶν ὅλων Δεσπότῃ· πρὸς ὃν δυσώπει Ὅσιε ἀεί, τοῦ ἐλεῆσαι τοὺς πόθῳ ὑμνοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες, ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Συνηυξήθησαν τῷ σώματί σου θεόφρον, τῶν ἀρετῶν τὰ κάλλη· ὅθεν ὥσπερ φοῖνιξ ἤνθησας Θεόδωρε, καρποὺς προβαλλόμενος, γλυκασμὸν τῇ ποίμνῃ σου βρύοντα.

Ἀπενέκρωσας τὰ πάθη δι᾽ ἐγκρατείας, καὶ τοῦ Ἁγίου Πνεύματος, ὤφθης θεοφόρε, θεῖον οἰκητήριον, δι᾽ οὗ πᾶσιν ἔβλυσας, τὰ τῶν ἰαμάτων χαρίσματα.

Ἐν πτωχείᾳ τῇ τοῦ πνεύματος καὶ στενώσει, Πάτερ ἀεὶ διάγων, ῥάκεσι τὸ σῶμα, τριχίνοις ἐκάλυπτες, πρὸς πλοῦτον τὸν ἄφθαρτον, μόνον ἀφορῶν καὶ ἀΐδιον.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν· ὅθεν ἀσιγήτοις φωναῖς, τὸ Χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Κανὼν δεύτερος. Ἐλήλυθας ἐκ Παρθένου.

Ἐγκρατείας, ταῖς εὐτόνοις πληγαῖς κατεμάστιξας, τῶν παθῶν τὴν Αἴγυπτον, καὶ καθηγήσω Θεόδωρε, γῆν πρὸς τὴν οὐράνιον, καταφυτεύσας τοὺς πίστει ἑπομένους σοι.

Ὑφάσμασιν, ἀρετῶν ἐξειργάσω Θεόδωρε, σαυτῷ περιδέξιον, καὶ καθαρώτατον ἔνδυμα, ὅπερ ἐνδυσάμενος, εἰς τὸν νυμφῶνα τὸν ἄνω εἰσελήλυθας.

Στυγνότητι, σκυθρωπάζων ἐτέλεις Θεόδωρε, τριχίνοις ὑφάσμασι, σοῦ τὸ σαρκίον σκεπόμενος· ὅθεν σοι ἀνέτειλεν, ἡ νοητὴ εὐφροσύνη Θείῳ Πνεύματι.

Θεοτοκίον.

Ἐν ὥρᾳ με, φοβερᾷ Παναγία κρινόμενον, καὶ σῶσον καὶ λύτρωσαι, καὶ τῆς γεέννης ἐξάρπα-

www.tezaurliturgic.ro



σον, ὅπως μακαρίζω σε, καὶ καταχρέως γεραίρω παναμώμητε.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Σὺ Κύριε τὸν σόν, ἀσκητὴν ἐκραταίωσας· σὺ δύναμιν καὶ ἀνδρείαν, περιέζωσας τοῦτον, κατὰ τοῦ πολεμήτορος.

Σὲ Κύριε ποθῶν, ἐν ἀσκήσει ὁ Ὅσιος, σοὶ ἄμωμον ὥσπερ θῦμα, ἑαυτὸν ἐγκρατείας, πυρὶ σαφῶς προσήγαγεν.

Ἐν δίψει καὶ λιμῷ, ἐκζητήσας τὸν Κύριον, Θεόδωρε τοῦ χειμάῤῥου, τῆς τρυφῆς ἀπολαύεις, Ὁσίων σὺν τοῖς τάγμασι.

Θεοτοκίον.

Σὲ ὅπλον ἀῤῥαγές, κατ᾽ ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Κανὼν δεύτερος. Ὁ τοῦ φωτὸς χορηγός.

Βίον ἰσάγγελον, ἀναλαβὼν ἐπὶ τῆς γῆς ὅσιε, ἀσκητικῶς πάσῃ κακουχίᾳ, ἐνέκρωσας παθῶν, τὰς ἐπαναστάσεις, θεόφρον Θεόδωρε.

Ὥραν τῆς κρίσεως, κατανοῶν διηνεκῶς ἤλασας, ἀπὸ ψυχῆς ὕπνον ῥαθυμίας, ὀρθρίζων πρὸς Θεόν, καὶ τῇ πρὸς τὸ θεῖον, στοργῇ καλλυνόμενος.

Στέργων τὰς ἄνω μονάς, ὡς μοναστὴς ἀληθινὸς ἤγειρας, ἐπὶ τῆς γῆς μονὰς μοναζόντων, ἐν αἷς οἱ διὰ σοῦ, καταφυτευθέντες τιμῶσί σε Ὅσιε.

Θεοτοκίον.

Μόνη ἐκύησας, τὴν ἐνυπόστατον ζωὴν Ἄχραντε, τὸν Ποιητὴν πάντων καὶ Δεσπότην, ὃν στέργουσα πληθύς, Πατέρων ὁσίων ὁσίως ἐβίωσε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Τὰ βέλη, τὰ τοῦ ἐχθροῦ συνέτριψας ὅσιε, τῆς ταπεινώσεως ὅπλοις, κατ᾽ αὐτοῦ χρησάμενος καὶ τὴν νίκην, συνεργίᾳ, τοῦ Χριστοῦ ἐκομίσω Θεόδωρε.

Τὰ πάθη, τῶν πειρασμῶν ὡς κύματα ὅσιε, τῆς ἐγκρατείας τῷ εἴδει, ἐν τῇ καρτερίᾳ Πάτερ αἰσίως, ἀπεκρούσω, τῇ γαλήνῃ Χριστοῦ κυβερνώμενος.

Ἄληστον, τὴν τοῦ θανάτου ὥραν ποιούμενος, ἐν στεναγμοῖς καὶ δακρύοις, διετέλεις Πάτερ λούων τὴν κλίνην, καὶ ἐν φόβῳ, τῷ Κυρίῳ δουλεύων ἑκάστοτε.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

Κανὼν δεύτερος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐλλαμφθεὶς θεωρίαις ταῖς κρείττοσι, πάντων τὴν ψυχήν, τῶν γηΐνων ἐγύμνωσας, καὶ τῷ Θεῷ ἐσχόλασας, ἀνενδότοις μελέταις Θεόδωρε.

Λαμπροτάτου σου βίου λαμπρότησιν, ἡ ὑπ᾽ οὐρανὸν κατελάμφθη μακάριε, ἀνατολῆς ἡλίου σε, φεγγοβόλον ἀστέρα κηρύττουσα.

Παγετῷ καὶ τῷ κρύει πηγνύμενος, ταῖς πρὸς τὸν Θεὸν κατεθάλπου συννεύσεσι, καὶ τὸν κρυμὸν ἐμείωσας, τῶν παθῶν θείᾳ θέρμῃ μακάριε.

Θεοτοκίον.

Ὡς καλὴν ὡς ὡραίαν φανεῖσάν σε, Λόγος ὁ ὡραῖος ἠγάπησεν Ἄχραντε, καὶ σοῦ τὴν μήτραν ᾤκησεν, εἰς ἡμῶν τῶν πιστῶν ἀπολύτρωσιν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Δῶρον Θεῷ φερώνυμον, ὅλον σαυτὸν προσήνεγκας, τοῖς ἐν ἀσκήσει συντόνοις καμάτοις σου, πάτερ σοφὲ Θεόδωρε, καὶ θαυμάτων τὴν χάριν, ὡς ἀντίδωρον θεῖον, παρ᾽ αὐτοῦ ἔλαβες, δι᾽ ὧν ἀεὶ διασῴζεις, κινδύνων τοὺς εὐφημοῦντάς σε.

Ὁ Οἶκος.

Τὴν τοῦ κόσμου μισήσας τερπνότητα, τὸν Σταυρὸν ἐπωμάδιον ἔλαβες, καὶ τὸν βίον διήνυσας ἅπαντα, ἐν πολλῇ ἐγκρατείᾳ Θεόδωρε· διὸ ἀπάθειαν ἐπλούτησας, ὥσπερ δῶρον τίμιον, καὶ χάριτας θαυμάτων, ἐθησαύρισας πλουσίως Ὅσιε, δι᾽ ὧν ἀεὶ διασῴζεις, κινδύνων τοὺς εὐφημοῦντάς σε.

Μηνολόγιον.

Τῇ Κ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ.

Στίχοι.

Θνήσκεις ὁ πλήξας τριχίνῃ στολῇ Πάτερ,
Τὸν ἐνδύσαντα τοὺς γενάρχας φυλλίνην.

Εἰκάδι σός, Θεόδωρε, λίπ᾽ ὀστέα θυμὸς ἀγήνωρ.

www.tezaurliturgic.ro



Συναξάριον.

Οὗτος ὁ ἀοίδιμος, πάσῃ κακουχίᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν ὑποβαλὼν καὶ κρύει καὶ παγετῷ πηγνύμενος, τριχίνοις καὶ ἀδρανέσιν ἀμφίοις τὸ σαρκίον ἐκάλυπτεν· ὅθεν καὶ τοῦ Τριχινᾶ μετέσχεν ὀνόματος. Διά τοι τοῦτο καὶ τὴν τῶν δαιμόνων ἀπεγύμνου ἀπάτην· καὶ μύρον ὁ τάφος αὐτοῦ ἀναπηγάζει πᾶσι τοῖς προστρέχουσι πόθῳ, καὶ τὴν ψυχικὴν καὶ σωματικὴν ὑγείαν χαρίζεται.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζʹ. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ἡ θεία χάρις, ἡ ἐν καμίνῳ πάλαι δρόσον Παισί, δοῦσα αὕτη Πάτερ τὴν τῶν παθῶν, κατεμάρανέ σοι κάμινον, ὡς νεφέλη σοι, ἀναψύξεως ὄμβρον ἐκχέασα.

Ἐν τοῖς ἱδρῶσι, τὰ τῶν δακρύων Πάτερ ῥεῖθρα σοφέ, μίξας κολυμβήθραν χάριτι τοῦ Χριστοῦ, ἀπειργάσω ταῦτα ὅσιε, ἐν ᾗ λουσάμενος, τῶν παθῶν τὰς κηλῖδας ἀπέσμηξας.

Ἐν τῇ καμίνῳ, τῇ τῶν δακρύων πάθη φλέξας σαρκός, ὅλος καθαρὸς ὑπέρλαμπρος ὡς χρυσός, ἀνεδείχθης θείαις χάρισι, πάτερ Θεόδωρε, ἀποστίλβων εἰς δόξαν Θεοῦ ἡμῶν.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύ, ἐν γυναιξὶ πανάμωμε Δέσποινα.

Κανὼν δεύτερος. Ἀντίθεον πρόσταγμα.

Μυρίπνοος γέγονας, τῶν ἀρετῶν σου, συνθέσει Θεόδωρε, καὶ μύρον εὐωδέστατον, λειψάνων τιμίων σου, ἀναπηγάζεις ἡμῖν, πίστει τῶν τιμώντων σε ψυχάς, καὶ τὰς καρδίας μυρίζων ὅσιε.

Ἀρνίον ὡς ἄκακον, ἐντεθραμμένον, ἀσκήσεως Ὅσιε, τῇ χλόῃ κατεσκήνωσας, πρὸς μάνδραν οὐράνιον, τῷ Ἀρχιποίμενι, Λόγῳ συνευφραίνεσθαι· διό, τῶν σῶν θρεμμάτων ἀεὶ μνημόνευε.

Κρουνοῖς τῶν δακρύων σου, ἀποτεφρώσας, βραζούσας τοῦ σώματος, καμίνους ἱερώτατε, πυρὶ Θείου Πνεύματος, ἀναφλεγόμενος, λύχνος ἐγρηγόρσεως καὶ φῶς, τοῖς ἐν τῷ σκότει Πάτερ γεγένησαι.

Θεοτοκίον.

Αἰνίττεται βάτος σε, σπαργανουμένη, πυρὶ Πανάμωμητε, μηδόλως φλεγομένη δέ· τὸ πῦρ γὰρ ἐβάστασας, τὸ τῆς Θεότητος, ἄφλεκτον τηρῆσάν σε Ἁγνή, καὶ μετὰ τόκον Παρθένον ἄφθορον.

Κανὼν πρῶτος. Ὠδὴ ηʹ. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἤθεσι κοσμούμενος σοφέ, τῶν ἀρετῶν νοητῶς, τὴν εὐωδίαν αὐτῶν, ἐν κόσμῳ ἔπνευσας Ὅσιε· καὶ τὰ μύρα τῶν θαυμάτων σου, πᾶσιν ἐκπέμπεις τοῖς πιστοῖς, Χριστῷ κραυγάζουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Χεῖρας ἐκπετάσας πρὸς Θεόν, τοὺς θῆρας Ὅσιε, τοὺς νοητοὺς προσευχαῖς, κατὰ σοῦ αἴροντας στόματα, ἀπεφίμωσας καὶ ἔψαλλες, ἐν διανοίᾳ καθαρᾷ, Πάτερ γηθόμενος· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἤρθης ἀπὸ γῆς πρὸς οὐρανόν, πάτερ Θεόδωρε, ἀντὶ στενώσεως, πρὸς πλάτος ἄπειρον ὅσιε, ἐν Ἁγίων τοῖς σκηνώμασιν· ἀντὶ ῥακίων εὐτελῶν, βύσσῳ κοσμούμενος, καὶ κραυγάζων· Πάντα τὰ ἔργα, ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός· ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

Κανὼν δεύτερος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ῥύπον ἀπέπλυνας ψυχῆς, τῶν δακρύων ὀχετοῖς καὶ τὸν χειμάῤῥουν, τῆς τρυφῆς ἐκληρώσω, καὶ τῶν πραέων τὴν γῆν, ὡς πρᾶος Ὅσιε καὶ ἄκακος, καὶ δικαιοσύνῃ, σαφῶς κεκοσμημένος.

Οἰκειοτάταις πρὸς Θεόν, ἀναβάσεσιν ἀεὶ πεπυρσευμένος, ἀπροσκόπτως διέβης, τοὺς ἐμπαθεῖς λογισμούς, καὶ πάντα ζόφον τὸν τοῦ σώματος, καὶ πρὸς φῶς μετῆλθες, τῆς ἀπαθείας Πάτερ.

Ἵνα τῷ ὄντως ἐφετῷ, προσπελάσῃς ἐγκρατὴς καὶ ταπεινόφρων, καὶ μακρόθυμος ὤφθης, τριχίνοις ῥάκεσι δέ, ἀπαύστως σκεπόμενος ἔνδοξε, σὺ τὰς τῶν δαιμόνων, ἀπογυμνοῖς ἀπάτας.

Θεοτοκίον.

Ὡραιωθεῖσα καλλοναῖς, ἀρετῶν καὶ κροσσωτοῖς πεποικιλμένη, διαχρύσοις Παρθένε, τὸν ὑπὲρ πάντας βροτούς, ὡραῖον Λόγον ἀπεκύησας, ὃν καθικετεύειν, ὑπὲρ ἡμῶν μὴ παύσῃ.

www.tezaurliturgic.ro



Κανὼν πρῶτος. Ὠδὴ θʹ. Λίθος ἀχειρότμητος.

Ἄνω τὸ πολίτευμα ἔχειν, ἐν οὐρανοῖς ἐπιποθήσας, κλίμακι καθάπερ ἐχρήσω, ταῖς ἀρεταῖς σου πάτερ Θεόδωρε, δι᾽ ὧν ἐκεῖσε ἔφθασας, καὶ τῆς ἐφέσεως ἐπέτυχες.

Οἶκος ἐχρημάτισας Πάτερ, τῶν ἀρετῶν ἐν ᾧ πλουσίως, πίστις καὶ ἐλπὶς καὶ ἀγάπη, καὶ σωφροσύνη ἐναπετέθησαν· διὸ καὶ πλήρης Ὅσιε, τῶς ἀρετῶν μετέστης ἄριστα.

Ἔνθα τῶν Ὁσίων οἱ δῆμοι, καὶ τῶν Δικαίων αἱ χορεῖαι, ἔνθα τῶν Ἁγίων τὰ πλήθη, καὶ πρωτοτόκων Πάτερ τὰ τάγματα, περιφανῶς ἐσκήνωσας· μεθ᾽ ὧν ἀεὶ ἡμῶν μνημόνευε.

Θεοτοκίον.

Σὺ τὸ ἐγκαλλώπισμα πάντων, τῶν ἐπὶ σοὶ ἐγκαυχωμένων· σὺ ἡ εὐφροσύνη τοῦ κόσμου, καὶ θυμηδία ἡμῶν τῶν δούλων σου· σὺ γλυκασμὸς καὶ ἔφεσις, τῶν σὲ ὑμνούντων Μητροπάρθενε.

Κανὼν δεύτερος. Ἀνάρχου Γεννήτορος.

Σταυρώσας τὰς σάρκας σου, τῷ φόβῳ τοῦ Δεσπότου σου, ἐνεκρώθης τῷ κόσμῳ, πάτερ Θεόδωρε· καὶ νῦν μεταβέβηκας χαίρων, πρὸς τὴν ζωήν, τῶν ζώντων παμμάκαρ, μεθέξει θεούμενος, καὶ φωτὸς ἀεὶ πληρούμενος.

Ἡμέραν ἑόρτιον, καὶ πλήρη ἁγιάσματος, σοῦ τὴν ἔνθεον μνήμην, τελοῦμεν σήμερον· σὺ γὰρ καὶ φωτὸς καὶ ἡμέρας, ὡς ἀληθῶς, υἱὸς ἀνεδείχθης, καὶ φῶς τὸ ἀνέσπερον, κατοικεῖς ἀγαλλιώμενος.

Φωστὴρ διαυγέστατε, Θεοῦ δώρων ἐπώνυμε, θεοπύρσευτε λύχνε, τῆς ἀνεσπέρου αὐγῆς, ἡ τῶν ἀρετῶν μυροθήκη, ὁ ἀκλινής, πύργος μοναζόντων, τὴν ποίμνην σου λύτρωσαι, ταῖς εὐχαῖς σου πάσης θλίψεως.

Θεοτοκίον.

Φωτὸς οἰκητήριον, ἡ μήτρα σου γεγένηται, τοῦ φωτίσαντος κόσμον, αὐγαῖς Θεότητος, πύλη τοῦ Ἡλίου τῆς δόξης, ἐν γυναιξί, κεχαριτωμένη, Ὁσίων τὸ καύχημα, Παναγία ὑπερένδοξε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἐαρινὴν προέθηκε, σήμερον πανδαισίαν, θεοπρεπῶς ὡς τράπεζαν, τοῖς πιστοῖς ψυχοτρόφον, τοὺς ἐν τελείᾳ ἀσκήσει, ἱεροὺς αὐτοῦ πόνους, ὁ θαυμαστὸς Θεόδωρος, μοναζόντων τὸ κλέος, ἧς ἀδελφοί, δεῦτε νῦν τρυφήσωμεν ἀκορέστως, αἶνον Χριστῷ προσάγοντες, τῷ Σωτῆρι τοῦ κόσμου.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἀσκητικῶς ὠνήσω, τὴν ἀκατάλυτον ζωήν, ἐν ᾗ λαμπόμενος πάτερ, θείου φωτὸς μαρμαρυγαῖς, τὸν φωτισμὸν ἡμῖν αἴτει, Θεόδωρε σαῖς πρεσβείαις.

Θεοτοκίον.

Χαῖρε παράδεισε θεῖε, ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς· χαῖρε ὁ λίθος Παρθένε, ἐξ οὗ ἡ πέτρα ὁ Χριστός, ἐτμήθη τὴν ἁμαρτίαν, συντρίβων τοῦ πρωτοπλάστου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἵστῶμεν στίχ. δʹ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Κωνσταντίνου τῆς πόλεως, τὸ οὐράνιον βλάστημα, μοναστῶν τὴν ἔμψυχον ὑποτύπωσιν, τῶν ἀρετῶν τὸ θησαύρισμα, καὶ θεῖον ἐπώνυμον, δωρεῶν τῶν θεϊκῶν, τὸν πολύτλαν Θεόδωρον, εὐφημήσωμεν, τῶν πιστῶν αἱ χορεῖαι ὁμοφρόνως, ἵνα λάβωμεν πρεσβείαις, αὐτοῦ πταισμάτων τὴν ἄφεσιν.

Τῷ Χριστῷ συσταυρούμενος, μοναστὴς ὡς θεόληπτος, τοῦ ἐχθροῦ τὰ ἔνεδρα κατεπάτησας, καὶ ἀνδρικῶς κατετρόπωσας, τὰ πάθη τοῦ σώματος, καὶ ἀπάθειαν ψυχῆς, ὥσπερ δῶρον οὐράνιον, ἐθησαύρισας· διὰ τοῦτο χειρὶ τῇ ἀοράτῳ, εὐκλεῶς ἐστεφανώθης, πάτερ θεόφρον Θεόδωρε.

Ὡς πτωχεύσας τῷ πνεύματι, καὶ ταπείνωσιν ἄῤῥητον, ἐπιδείξας ὅσιε τῇ ἀσκήσει σου, μακαρισμοῦ κατηξίωσαι, τοῦ πρώτου Θεόδωρε, καὶ πολίτης τῆς Θεοῦ, βασιλείας γεγένησαι, ἔνθα πάντοτε, τῶν Ὁσίων τοῖς δήμοις συγχορεύων, ἐκδυσώπει ὑπὲρ πάντων, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Τὸ σαρκίον σκεπόμενος, τοῖς τριχίνοις ὑφάσμασι, τῶν καιρῶν Θεόδωρε καθυπέμεινας, μεταβολὰς ὡς ἀσώματος, καὶ θείαν ἐνδέδυσαι, τοῦ φωτὸς καταστολήν, καὶ εἰς θάλψιν ἀείζωον, προσεχώρησας, κοινωνήσας Ὁσίων καὶ Δικαίων, τῆς τερπνότητος ἀξίως, ἐν οὐρανῶν τοῖς σκηνώμασιν.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, πρὸς τὸν Θεὸν δαυϊτικῶς, ὀρθρίσας ἐκ νεότητος, ἀπὸ ψυχῆς ὕπνον ῥαθυμίας, ἀρετῶν ἐγρηγόρσει ἀπήλασας· τὴν ὥραν γὰρ τοῦ τέλους κατανοῶν, τῶν ἐπὶ γῆς τερπνῶν κατεφρόνησας, καὶ ἀσκητικὸν βίον ἑλόμενος, τοῦ γηΐνου σου σκεύους οὐκ ἐφρόντισας, ἀλλ᾽ ἐν ῥάκεσι τριχίνοις καλυπτόμενος, ἐν κακουχίᾳ διεπέρασας, τὸν χρόνον τῆς ἐν κόσμῳ ἀναστροφῆς σου. Ὅθεν τὰς τοῦ ἐχθροῦ μηχανὰς ἀπογυμνώσας, τὸ περιβόλαιον τῆς δόξης ἐνεδύσω, καὶ τῷ θρόνῳ παρέστης τῆς Θεότητος, ὑπὲρ ἡμῶν δεήσεις ἀναφέρων, τῶν τελούντων τὴν μνήμην σου Θεόδωρε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ε΄ Δεκεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Θείαν ἐνεδύσω καταστολήν, ἐν τριχίνῳ ῥάκει, τὴν ζωήν σου διαγαγών, καὶ ὑψώθης Πάτερ, ἔνθα χοροὶ Ἀγγέλων, ταπείνωσιν ἀρίστην, ἐπιδειξάμενος.

*Δίστιχον.*

*Κύριλλον ὑφάναντα πόθῳ σοι ὕμνους*
*Λύτρωσαι Θεόδωρε πάσης ἀνάγκης.*